Τί δ' ἄλλο; Δι. Μεγαρεῖ, πῶς ὁ σῖτος ὤνιος;
Με. Παρ' ἁμὲ πολυτίματος, ἅπερ τοὶ θεοί.
Δι. Ἅλας οὖν φέρεις; Με. Οὐχ ὑμὲς αὐτῶν ἄρχετε;
Δι. Οὐδὲ σκόροδα; Με. ποῖα σκόροδ' ὑμὲς, ὧν ἀεὶ
Οὐκ ἐσβαλεῖτε τὼς ἀρωραῖοι μύες,
Πάσσακι τὰς ἀγλῖθας ἐξορύσσετε;
Δι. Τί δαὶ φέρεις; Με. χοίρους ἐγώνγα μυστικάς.
Δι. Καλῶς λέγεις, ἐπίδειξον. Με. ἀλλὰ μὰν καλαὶ,
Ἄντεινον αἰ λῇς ὡς παχεῖαι καὶ καλαί.
Δικ. Τουτὶ τί ἦν τὸ πρᾶγμα. Μεγαρ. χοῖρος ναὶ Δία.
Δι. τί λέγεις σύ; ποδαπὴ δ' ἥσ' ἡ χοῖρος; Με. Μεγαρικά,
Ἢ οὐ χοῖρος ἔσθ' ἁδί. Δι. οὐκ ἔμοιγε φαίνεται.
Με. Οὐ δεινά; θᾶσθε τοῦδε τὰς ἀπιστίας,
Οὔ φατι τόνδε χοῖρον ἦμεν, ἀλλὰ μὰν
Αἰ λῇς, περίδου νῦν μοι περὶ θυμιτιδᾶν ἁλᾶν
Αἰ μή 'στιν οὗτος χοῖρος Ἑλλάνων νόμῳ.
Δι. Ἀλλ' ἔστιν ἀνθρώπου γε. Με. ναὶ τὸν Διοκλέα.
Ἐμά γα. σὺ δὲ νιν ἦμεν ἦμεν τίνος δοκεῖς;
Ἢ λῇς ἀκοῦσαι φθεγγομένας; Δι. νὴ τοὺς θεοὺς
Ἔγωγε. Με. φώνει δὴ τὺ ταχέως χοιρίδιον,
Οὐ χρῆσθα σιγᾷς ὦ κάκιστ' ἀπολουμένα,
Πάλιν τυ γ' ἀποισῶ ναὶ μὰ τὸν Ἑρμᾶν οἴκαδις.
Κό. Κοῒ, κοΐ.

A *Quid enim aliud? Di. quanti frumentum venditur*
*Megaris? ME. in magno pretio est, sicut & Dei.*
*Di. Salémne fers? ME. annon vos domini estis salis?*
B *Di. Nulla allia? ME. quænam allia? quorum vos scilicet,*
*Quoties velut mures terreni irrumpitis,*
*Capita paxillo effoditis. Di. quid mercimonij*
*Igitur fers? MEG. porcas mecum apporto mysticas.*
*Di. Pulcre dicis, age ostende. ME. sunt certè admodum*
*Pulcræ: sustolle, si placet, vt quàm corpore*
C *Obeso & pulcro sint videas. Di. quid hoc rei?*
*ME. Porca est, me Iuppiter. Di. quid ais: cuiâs est, cedò,*
*Hæc porca? ME. Megarica: annon porca est. Di. mihi secus*
*Apparet. ME. non indignum hoc est? videte quæ*
*Sit hæc incredulitas, porcam non esse ait.*
D *At, si lubet, depone tu mecum sales*
*Thymo tritos, an non porca hæc fiet, & quidem*
*Græcorum lege. Di. porca hominis? ME. per Dioclem*
*Mea est. tu cuius illam esse putas? an cupis*
*Audire grunnientes? Di. ita volo, per Deos.*
*ME. Vocem porcellæ ede ocyus: caue sileas,*
*Malè perdita, aut, per Hermē, referam te domū.*
*Pv. Coî, coî.*

Σχόλια. Ἀγοράζοντες ἥκομες.] ἐν ἀγορᾷ διατρίψοντες ἤλθομεν, ἢ ὠνησόμενοί τι ἢ πωλήσοντες. Διαπεινᾶμες.] πίνομεν ὤφειλεν εἰπεῖν πρὸς τὸ πῦρ καθήμενοι. χειμῶνος γὰρ οἱ πότοι πρὸς τὸ πῦρ γίνονται. ὁ δὲ πεινῶμεν εἶπε διὰ τὸν λιμόν. ἢ ἐσχάτως πεινῶμεν. ὥστε καὶ τὰ ἱμάτια ἀποδόμενοι καθεζόμεθα πρὸς τῷ πυρὶ διὰ τὸ ψύχος. ἢ διάπυρως καὶ ἐκτόπως πεινῶμεν. ὃ καὶ βέλτιον. Ἀλλ' ἡδύ τοι νὴ τὸν Δί' ἦν αὐλὸς παρῇ] ὡς ἐπὶ τῶν πινόντων τὸν αὐλόν. ὅτι τὸ πῦρ, εὐωχίας σημαντικόν. ὥστε ἡδὺ ἦν καθῆσθαι μετὰ αὐλῶν. Ὅπως τάχιστα.] καὶ τοῦτο παρ' ὑπόνοιαν πικρῶς ἐπήγαγε τὸ ἀπολλύμεθα. ἔδει γὰρ εἰπεῖν ὅτι ὅπως σωθῶμεν. Αὐτίκ' ἄρ' ἀπαλλάξεσθε.] πρὸς τὸ ῥηθὲν παρὰ τοῦ Μεγαρέως ἀπήντησεν ὁ Δικαιόπολις ἀστείως. εἰ γὰρ ἀπώλλυσθέ φησι, ἀπηλλάττεσθε ἂν πραγμάτων. σημαίνει δὲ ἀντὶ τοῦ τί μήν. τί γὰρ ἄλλο καταλείπεται ἢ τοῦτο. Ἅπερ τοὶ θεοί.] ἀντὶ τοῦ ὥσπερ οἱ θεοὶ πολυτίμητοί εἰσι καὶ τίμιοι, οὕτω καὶ ὁ σῖτος πολλῆς τιμῆς ἐστι. παίζει οὖν.

Bisetvs. Ἅπερ τοί.] Παρ' ἁμὲ, παρ' ἡμᾶς, ἤγουν παρ' ἡμῖν, ὅπερ μᾶλλον ἐν χρήσει. τὸ δὲ ψιλοῦν τὰ δασέα, Αἰολέων ἐστίν. Ἴωνες μέντοι καὶ αὐτοὶ ταὐτὸ ποιοῦσι. καὶ πάλιν Ἴωνες τὰ ψιλούμενα δασύνουσιν, οἳ ἀντὶ τοῦ χιτών, κιθών λέγουσι, καὶ βάθρακος, ἀντὶ τοῦ βάτραχος.

Σχόλια. Ἅλας οὖν φέρεις.] ἐν Νισαίᾳ τῆς Μεγαρίδος ἅλες πήγνυνται. ἦν δὲ ὁ τόπος ὑπήκοος τῶν Ἀθηναίων. Ὑμὲς αὐτῶν ἄρχετε.] διὰ τὸ θαλασσοκρατεῖν τοὺς Ἀθη-

E ναίους, ἔφη ὑμεῖς αὐτῶν ἄρχετε. Οὐκ ἐσβαλεῖτε.] ἐσβαλεῖν ἐστι τὸ τινὰς ἐν ἀγρῷ εἰσελθόντας ἐκκόψαι πάντα τὰ ἐν αὐτῷ. λέγει οὖν ὁ Μεγαρικὸς ὅτι ποῖα σκόροδα, ἅτινα ὑμεῖς ἐπελθόντες τοῖς χωρίοις τῆς Μεγαρίδος, καθάπερ γήινοι μύες ἐκκόπτετε. ἀπὸ δὲ τῶν σκορόδων ἐσήμανε καὶ τὰ ἄλλα πάντα. τούτων δὲ ἐμνήσθη ὡς μηδὲ τῶν οὕτως εὐτελῶν φειδομένων τῶν Ἀθηναίων.

Bisetvs Οὐκ ἐσβαλεῖτε.] ὅτε, ὁπόταν ἐσβαλεῖτε,
F ὡς, εἴτε ὥσπερ ἀρουραῖοι, καὶ ἄγριοι μύες. τὸ τὼς νῦν ἀντὶ τοῦ ὥσπερ λαμβάνεται. ἀλλαχοῦ δὲ ἀντὶ τοῦ οὕτως, ὅθεν καὶ τὸ ὡς ἀποβολὴ τοῦ τ. Ὅμηρος Ἰλ. Γ.

Τὼς δέ σ' ἀπεχθήρω, ὡς νῦν ἔκπαγλ' ἐφίλησα.

Σχόλια. Πάσσακι.] ὑποκοριστικῶς τῷ πασσάλῳ. ἀγλῖθας δὲ, τὰς κεφαλὰς τῶν σκορόδων. φησὶν οὖν, ὅτι ὥσπερ ἀρουραῖοι μύες, ὀρύσσετε τῷ πασσάλῳ τὰς ἀγλῖθας. Χοίρους ἐγώνγα μυστικάς.] διὰ τὸ ἐν τοῖς μυστηρίοις τῆς Δήμητρος θύεσθαι χοίρους. Ἄντεινον αἰ λῇς.] ἀνάτεινον εἰ βούλει. καὶ κρεμάσας ἐπίσκεψαι πόσου βαρεῖς εἰσίν. εἰώθασι δ' οἱ τὰς ὄρνεις ὠνούμενοι ἀνατείνειν ταύτας καὶ
G τὸ βάρος αὐτῶν σκοπεῖν, καὶ οὕτω καταλαμβάνειν εἰ παχεῖαι. ἀπὸ τούτων οὖν καὶ ἐπὶ τῶν χοίρων τοῦτο ποιῆσαι παρακελεύεται. Τουτὶ τί ἦν τὸ πρᾶγμα.] ὁ Ἀττικὸς κρεμάσας τὴν παῖδα ὁρᾷ τὸ αἰδοῖον αὐτῆς. καὶ ἐρωτᾷ περὶ αὐτοῦ, ὅτι ποτέ ἐστιν. οὐ γὰρ ἦν ὅμοιον τῷ αἰδοίῳ τοῦ χοίρου.

Bisetvs. Ποδαπὴ δ' ἥστι;] ποδαπὴ δέ ἐστι; κατὰ κρᾶσιν. ἢ καὶ κατὰ πλέον, ποδαπὴ δ' ἥ 'στι; ποδαπὴ δ' ἥ ἐστι